# 18 AUGUST
# GHEORGHIOS APOSTOLAKIS

# PARACLISUL SF.MUCENIC CONSTANTIN DE LA KAPOUA KARDITSEI



## PARACLISIERUL PE AUGUST-GR


Ὁ ἍΓΙΟϹ
ΚΩΝϹΤΑΝΤΊΝΟϹ
Ὁ ΝΕΟΜΆΡΤΥϹ

# Παρακλητικός Κανών Νεομάρτυρος ΚΩΝΣΤΑΝΤΙΝΟΥ τοῦ ἐκ Καπούης

## Ποίημα Γεώργιος Ἀποστολάκης

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄(142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Μαρτυρικοῖς σου Κωνσταντῖνε ἀγῶσι, τό στέφος ἔλαβες καί δόξῃ προσῆλθες, τῷ Ἀθλοθέτῃ Ἅγιε Χριστῷ τῷ Θεῷ, Ὅνπερ καθικέτευε, ταῖς ἀόκνοις λιταῖς σου, ἵνα δείξῃ ἔλεος, ἐν τῇ Κρίσεως ὥρᾳ, καί συγχωρήσῃ πλῆθος τῶν ἐμῶν, ἁμαρτημάτων, ὡς πάνυ φιλάνθρωπος.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τάς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μή γάρ Σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ Σοῦ· Σούς γάρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.

Εἶτα ὁ Κανών τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: *ΚΩΝΣΤΑΝΤΙΝΟΥ ᾈΔΩ ΜΑΡΤΥΡΙΟΝ. ΓΕΩΡΓΙΟΥ*

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Καπούα καυχᾶται Μάρτυς ἐν σοί, σεπτόν πολιοῦχον, σέ κατέχουσαν καί φρουρόν, ἀκοίμητον θεῖε Κωνσταντῖνε, ὅτι πρεσβεύεις ἐνθέρμως πρός Κύριον.

Ὡς ἄστρον νεόφωτον ἀθλητά, Χριστοῦ Ἐκκλησίας, κατεδείχθης τῇ ἐκτομῇ, τιμίας σου κάρας ἀγογγύστως, ὑπεραθλήσας νομίμως τρισόλβιε.

Νεκρώσας τοῦ δράκοντος τήν ὁρμήν, κλεινέ Κωνσταντῖνε, δι᾽ ἀγάπην τήν τοῦ Χριστοῦ, ἐδέχθης τόν θάνατον καί τάχος, πρός τήν ζωήν τήν αἰώνιον ἔδραμες.

Θεοτοκίον.

Σωμάτων ὀδύνας τάς χαλεπάς, ἴασαι Παρθένε, ὅτι κέκτησαι πρός Χριστόν, μεγάλην ὡς Μήτηρ παῤῥησίαν· ὅθεν θεράπευσον νῦν τά τεκνία Σου.

Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Τοῦ πατρός τάς βασάνους, καί φυλακῆς κάθειρξιν, φρόνημα οὐράνιον ἔχων, πόθῳ ὑπέμεινας, καί ἀπερίτρεπτος, σκάμμα διῆλθες θανάτου, κράζων τοῖς δημίοις σου, «δόξα Σοι Κύριε».

Ἀσφαλέστατον πύργον, καί ὀχυρόν ἄσειστον, τῆς Θεσσαλιώτιδος Μάρτυς, θεία Μητρόπολις, κέκτηται χαίρουσα, σέ τόν αἰσχύναντα πλάνην, ῥείθροις τῶν αἱμάτων σου, ὅν μακαρίζομεν.

Νοῦν ἀνύψωσας Μάρτυς, πρός οὐρανόν εὔχαρις, πάντων ξενωθείς τῶν γηΐνων, νεύσει τοῦ Πνεύματος,

καί τοῦ ἀλάστορος, πόνοις σου ἔσβεσας φλόγας, Κωνσταντῖνε ἔνδοξε, κλέος πατρίδος σου.

Θεοτοκίον.

Τῶν πιστῶν προστασία, καί μοναστῶν στήριγμα, πάντων πονουμένων τε σκέπη, ἵστασαι Δέσποινα, ὅτι νηδύϊ Σου, Θεόν ἐξένισας πάντων, παῤῥησίαν ἔχουσα, Θεοχαρίτωτε.

Διάσωσον, ἀπό κινδύνων ἱκέτας σου ἀθλοφόρε· προθυμότατα γάρ διά Χριστόν ἐμαρτύρησας, καί κέκτησαι παῤῥησίαν πρός τόν Δεσπότην.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Καπούας βλαστός καί ἔσχατον ὡράϊσμα, τυγχάνεις κλεινέ, πιστῶν σου τό διάσωσμα· διό πάντες σπεύδομεν, αἰτοῦντες λιτάς σου πρός Κύριον, ὅτι ἀκούει σου Μάρτυς ὁ Θεός, καί τάχος ἐκδέχεται πρεσβείας σου.

Ὠδή δ΄. Εἰσακήκοα Κύριε.

Ἰατρός πέλεις Ἅγιε, τοῖς προσερχομένοις πιστοῖς τῷ οἴκῳ σου, θεραπεύων τά νοσήματα, τῆς ψυχῆς τε πάθη καί τοῦ σώματος.

Νέον ἄστρον μακάριε, πάσης Ἐκκλησίας τῷ στερέωματι, ἀνεδείχθης μαρτυρίῳ σου, ᾧπερ τόν Χριστόν λαμπρῶς ἐδόξασας.

Ὁλοθύμως ἐχώρησας, πρός ὁμολογίαν Χριστοῦ πανόλβιε, ὁλοκάρπωμα γενόμενος, προσφορά τε θεία τῷ Δεσπότῃ σου.

Θεοτοκίον.

Ὑπερύμνητε Δέσποινα, Κεχαριτωμένη Θεοῦ τό σκήνωμα, κατευφραίνει τήν καρδίαν μου, τῆς μορφῆς Σου θεῖον τό ἐκτύπωμα.

Ὠδή ε΄. Φώτισον ἡμᾶς.

Ἅπασα ἡ γῆ, τῆς Καπούας νῦν σεμνύνεται, ἀρδευθεῖσα τοῖς σοῖς αἵμασι κλεινέ, καί καυχᾶται πολιοῦχόν σε κατέχουσα.

Δύναμις Θεοῦ, Κωνσταντῖνέ σε ἐνίσχυσε, καί προσῆλθες ὥσπερ σφάγιον σεπτόν, τῷ Χριστῷ κατατυθέν ὡς ἐθελόθυτον.

Ὢσπερ ἀθληταί, οἱ τό πάλαι ἐναθλήσαντες, ἐν σταδίοις οὕτω Ἅγιε καί σύ, μαρτυρίου τήν ὁδόν γενναίως ὥδευσας.

Θεοτοκίον.

Μύρου νοητοῦ, τό δοχεῖον Μῆτερ γέγονας· τόν Χριστόν γάρ ἐν τοῖς κόλποις Σου Σεμνή, τόν τάς χάριτας δωρούμενον ἐφύλαξας.

Ὠδή στ΄. Τήν δέησιν ἐκχεῶ.

Ἀπέλασον, πονηρίας πνεύματα, καί κατεύνασον ἐχθροῦ τήν κακίαν, καί ἐν εἰρήνῃ τόν βίον διάγειν, τόν Λυτρωτήν καί Δεσπότην ἱκέτευσον· τῇ σῇ γάρ τμήσει κεφαλῆς, παῤῥησίαν πρός Κύριον κέκτησαι.

Ῥυσθῆναί με, τῶν πολλῶν κριμμάτων μου, ἐξαιτοῦμαι Κωνσταντῖνε θεόφρον, ὅτι πολλῆς ἁμαρτίας ἐπλήσθην, καί ἠλλοιώθη ψυχῆς μου τό εὔτονον· διό σου δέομαι πιστῶς, ἐκ φθορᾶς με εἰς ῥῶσιν ἀνάγαγε.

Τελείωσιν, μαρτυρίῳ ἔλαβες, πρός τά σκάμματα ἑκών προσχωρήσας, τά τῆς ἀθλήσεως ἔνδοξε Μάρτυς, καταβαλών τοῦ πατρός πᾶσαν ἔνστασιν, καί γέγονας πνευματικός, θησαυρός τῆς Καπούας μακάριε.

Θεοτοκίον.

Ὑπέρθεον, τόν Χριστόν ἐγέννησας, παραμείνασα καί πάλιν παρθένος· διό παρθένων τό τεῖχος τυγχάνεις, καί μοναστῶν προσφευγόντων τῇ σκέπῃ Σου· τοῦ κόσμου γάρ ὁ Ποιητής, κατεσκήνωσεν Κόρη ἐν μήτρᾳ Σου.

Διάσωσον, ἀπό κινδύνων ἱκέτας σου ἀθλοφόρε· προθυμότατα γάρ διά Χριστόν ἐμαρτύρησας, καί κέκτησαι παῤῥησίαν πρός τόν Δεσπότην.

Ἄχραντε, ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικήν παρρησίαν.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἀθλητὴς ἀήττητος, Χριστοῦ ἐδείχθης, Κωνσταντῖνε ἔνδοξε, καὶ νῦν παρίστασαι Αὐτῷ, ἐν Παραδείσῳ μακάριε, τῷ ἀνεσπέρῳ, φωτὶ ἐλλαμπόμενος.

Προκείμενον. *Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Ἐκ τοῦ κατὰ Ἰωάννην (Κεφ. ιε' 17 – στ' 2).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ’ ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου…

Καί νῦν. Ταῖς τῆς Θεοτόκου…

Προσόμοιον. Ἦχος πλ. β' Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με, ὁ Θεός…*

Ἄθλοις σου θαμβούμενοι, καί τῶν αἱμάτων ῥοαῖς σου, Κωνσταντῖνε ἄριστε, τῆς Καπούας βλάστημα ἐνδοξότατον, σέ ἱκετεύομεν, τόν κοινόν Δεσπότην, μή ἐλλείπῃς ἱλασκόμενος, ὡς ἄν ῥυώμεθα, πάσης προσβολῆς καί κακώσεως, δεινῶν τε τοῦ ἀλάστορος, χάριτι τῇ σῇ παμμακάριστε, ὅτι εἰσακούει, ὁ Κύριος πρεσβείας σου σεπτάς, διά τήν τμῆσιν τῆς κάρας σου, ἥν Αὐτῷ δεδώρησαι.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ῥυπαρῶν νοημάτων, ῥυπτικαῖς σου πρεσβείαις, τόν νοῦν μου κάθαρον, καί ποίησον λειμῶνα, τόν ἄνικμον ψυχῆς μου, Κωνσταντῖνε πανεύφορον, ἵνα κραυγάζω· Χριστέ, Θεός εὐλογητός εἶ.

Ἱερεῖον Δεσπότῃ, ἐνεγκών τήν σήν κάραν, ἀστήρ ἀείφωτος, κατέστης Ἐκκλησίας, παράδειγμα παρέχων, ἐν ἐσχάτοις τοῖς ἔτεσι, ὁμολογίας καλῆς, γενναῖε Κωνσταντῖνε.

Ὁμαιμόνων τήν πίστιν, ἀπετάξω ὡς πλάνην, Χριστόν δεξάμενος, στεῤῥᾷ ὁμολογίᾳ, καί γέγονας Καπούας, κηδεμών τε καί πρόμαχος· ὅθεν τιμᾶσαι σεπτῶς, αὐτῆς ὡς πολιοῦχος.

Θεοτοκίον.

Νοητή κατεδείχθης, κιβωτός σωτηρίας, καί θρόνος ἔκλαμπρος, κρατήσασα ἀγκάλαις, τόν Κτίσαντα τά πάντα, ᾧ ἀπαύστως κραυγάζομεν· ὁ τῶν Πατέρων ἡμῶν, Θεός εὐλογητός εἶ.

Ὠδή η΄. Τόν Βασιλέα.

Γόνοις σου Μάρτυς, τοῖς κατά πνεῦμα βοήθει, εὐθαρσῶς ὁμολογεῖν Ὀρθοδοξίαν, καί Χριστόν κηρύττειν, τοῦ κόσμου ὡς Σωτῆρα.

Ἰλύος πάσης, τῆς ἐμπαθοῦς μου καρδίας, κάθαρόν με Κωνσταντῖνε ταῖς λιταῖς σου, καί τῷ αἵματί σου, τήν πίστιν μου συντήρει.

Ὡς πολιοῦχον, σέ εὐσεβεῖται Καπούα, καί ναόν περικαλλῆ σοι ἀνεγείρει, πόθῳ ἐκτελοῦσα, ἐτήσιόν σου μνήμην.

Θεοτοκίον.

Ῥῶσιν παράσχου, τήν κατά σάρκα καί πνεῦμα, ὅτι σκέπη τῶν πιστῶν πέλεις Κυρία, τάχος δεομένη, ὑπέρ τῶν Σέ τιμώντων.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Γεραίρω σε τρισμάκαρ, ὕμνοις εὐχαρίστοις, ὅτι σεπτόν ἀκροθίνιον δέδειξαι, Νεομαρτύρων ἡ δόξα καί κλέος πάντιμον.

Ἰάτρευσον σόν δοῦλον, πάσχοντα κατ’ ἄμφω, ὅτι πολλῆς ἁμαρτίας πεπλήρωμαι, καί μετανοίας τό δῶρον ταχέως δώρησαι.

Ὁ πάσας τάς αἰτήσεις, νέμων τοῖς φοιτῶσι, τῷ σῷ ναῷ Κωνσταντῖνε, πανάριστε, νῦν καί ἡμῶν τάς δεήσεις καλῶς ἐπάκουσον.

Θεοτοκίον.

Ὑψίστου Λόγου Μῆτερ, πάντοτε δυσώπει, σύν τῷ σεπτῷ Κωνσταντίνῳ τόν Κύριον, ὅπως ζωῆς αἰωνίου Παρθένε τύχωμεν.

Μεγαλυνάρια.

Ἄξιον ἐστίν ὡς ἀληθῶς, μακαρίζειν Σέ τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον, καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ, καί ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ· τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις, Κωνσταντῖνε Μάρτυς Χριστοῦ, βλάστημα Καπούας, παμμακάριστε ἀθλητά. Χαίροις τήν πατρῴαν, ἐγκαταλείψας πλάνην, καί συνταχθείς Κυρίῳ, αἱμάτων ῥείθροις σου.

Χαίροις, Νεομάρτυς τοῦ Ἰησοῦ, θεῖε Κωνσταντῖνε, Θετταλίας ἡ καλλονή. Χαίροις ἐν Καπούᾳ, διά Χριστόν ἀθλήσας, καί τήν Ὀρθοδοξίαν, ποτίσας αἵμασι.

Πάντας προσιόντας τῷ σῷ ναῷ, πίστει εὐχομένους, διαφύλαξον ἀβλαβεῖς, κώμην τε Καπούας, ἐν σοί ἐγκαυχωμένη, παντός κινδύνου ῥῦσαι, σῇ θείᾳ χάριτι.

Χαίροις, Μάρτυς νέε ἐν ἀθληταῖς, αἵμασι καί πόνοις, τήν δυσσέβειαν καθελών. Χαίροις τῷ στεφάνῳ, στεφθείς τοῦ μαρτυρίου· διό τιμῶσι πάντες, σήν μνήμην Ἅγιε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι οἱ Πάντες, μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καὶ τὰ Τροπάρια. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ

Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα τοῦ Ἁγίου καὶ χριομένων δι᾽ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε ἐπί βήματος σταθείς, τήν πατρῴαν πίστιν ἠρνήσω, ἐνθέῳ στόματι, τότε διεκήρυξας Χριστόν ὡς Κύριον, ἐκδεχθείς παναοίδιμε, μῆνιν σῶν οἰκείων, ὕβρεις καί φυλάκισιν, ἐν τῇ δυσώδει εἱρκτῇ· ὅθεν ἐκτομῇ κεφαλῆς σου, χθόνα καθηγίασας ταύτην, ἔνθα Κωνσταντῖνε ἐθριάμ-βευσας.

Ὅτε ἐνεβλήθης εἰς εἱρκτήν, τῇ διαταγῇ τοῦ πατρός σου, ὥσπερ ἀρνίον Χριστοῦ, πίστει ἀνεκραύγαζες, καί στεντωρείᾳ φωνῇ· Τοῦ Χριστοῦ τέκνον γέγονα· Αὐτόν οὐκ ἀρνοῦμαι, ὅ,τι ἄν μοί πράξητε, ἄνομοι τύραννοι· ὅθεν τήν ζωήν μου δωροῦμαι, Αὐτῷ ὡς Δεσπότῃ τῶν πάντων, προσδοκῶν παράδεισον αἰώνιον.

Δέσποινα, πρόσδεξαι, τάς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδαν μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τόν Συνάναρχον Λόγον.

Κωνσταντῖνον Καπούας, τόν Νεομάρτυρα, ὡς στρατιώτην γενναῖον τῆς Ἐκκλησίας Χριστοῦ, μακαρίσωμεν πιστοί καί ἐπαινέσωμεν· ὅτι δυσσέβειαν πατρός, καταλείψας σθεναρῶς, ἐκήρυξεν τόν Σωτῆρα,

καὶ νομίμως ὑπεραθλήσας, τὴν κάραν δέδωκεν ὡς δῶρον Χριστῷ.

Δίστιχον.

*Κωνσταντῖνε δέχου Γεωργίου στίχους,*
*ὅν λιταῖς σου μάρτυς ἐκ κινδύνων σῷζε.*

